ἀπὸ τῶν Η Θ κάθετοι ἐπὶ τὰ ΑΒΓ ΔΕΖ τρίγωνα ἐπίπεδα ἴσαι ἀλλήλαις τυγχάνουσι· διὰ τὸ ἰσοϋψεῖς ὑποκεῖσθαι τὰς πυραμίδας. καὶ ἐπεὶ δύο εὐθεῖαι ἥ τε ΗΓ καὶ ἡ ἀπὸ τοῦ Η κάθετος ὑπὸ παραλλήλων ἐπιπέδων τῶν ΑΒΓ ΟΜΝ τέμνονται. εἰς τοὺς αὐτοὺς λόγους τμηθήσονται· καὶ τέτμηται ἡ ΗΓ δίχα ὑπὸ τοῦ ΟΜΝ ἐπιπέδου κατὰ τὸ Ν· καὶ ἡ ἀπὸ τοῦ Η ἄρα κάθετος ἐπὶ τὸ ΑΒΓ ἐπίπεδον δίχα τμηθήσεται ὑπὸ τοῦ ΟΜΝ ἐπιπέδου· διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ἀπὸ τοῦ Θ κάθετος ἐπὶ τὸ ΔΕΖ ἐπίπεδον δίχα τμηθήσεται ὑπὸ τοῦ ΣΤΥ ἐπιπέδου· καί εἰσιν ἴσαι αἱ ἀπὸ τῶν Η Θ κάθετοι ἐπὶ τὰ ΑΒΓ ΔΕΖ ἐπίπεδα· ἴσαι ἄρα καὶ αἱ ἀπὸ τῶν ΟΜΝ ΣΤΥ τριγώνων ἐπὶ τὰ ΑΒΓ ΔΕΖ κάθετοι· ἰσοϋψῆ ἄρα ἐστὶ τὰ πρίσματα. ὧν βάσεις μέν εἰσι τὰ ΛΞΓ ΡΦΖ τρίγωνα. ἀπεναντίον δὲ τὰ ΟΜΝ ΣΤΥ· ὥστε καὶ τὰ στερεὰ παραλληλεπίπεδα τὰ ἀπὸ τῶν εἰρημένων πρισμάτων ἀναγραφόμενα ἰσοϋψῆ τυγχάνοντα. πρὸς ἄλληλά εἰσιν ὡς αἱ βάσεις· καὶ τὰ ἡμίση· ἔστιν ἄρα ὡς ἡ ΛΞΓ βάσις πρὸς τὴν ΡΦΖ βάσιν, οὕτως τὰ εἰρημένα πρίσματα πρὸς ἄλληλα· ὅπερ ἔδει δεῖξαι:-

ἐὰν ἡ δύο εὐθεῖαι ὑπὸ παραλλήλων ἐπιπέδων τέμνωνται εἰς τοὺς αὐτοὺς λόγους τμηθήσονται· διὰ τὸ ιζ΄ τοῦ ια΄





αἱ ὑπὸ τὸ αὐτὸ ὕψος οὖσαι πυραμίδες καὶ τριγώνους ἔχουσαι βάσεις. πρὸς ἀλλήλας εἰσὶν ὡς αἱ βάσεις· ἔστωσαν ὑπὸ τὸ αὐτὸ ὕψος πυραμίδες ὧν βάσεις μὲν τὰ ΑΒΓ ΔΕΖ τρίγωνα. κορυφαὶ δὲ τὰ Η Θ σημεῖα· λέγω ὅτι ἐστὶν ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν, οὕτως ἡ ΑΒΓΗ πυραμὶς πρὸς τὴν ΔΕΖΘ πυραμίδα· εἰ γὰρ μή ἐστιν ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν, οὕτως ἡ ΑΒΓΗ πυραμὶς πρὸς τὴν ΔΕΖΘ πυραμίδα, ἔσται ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν. οὕτως ἡ ΑΒΓΗ πυραμὶς ἤτοι πρὸς ἔλασσόν τι τῆς ΔΕΖΘ πυραμίδος στερεὸν ἢ πρὸς μεῖζον· ἔστω πρότερον πρὸς ἔλασσον τὸ Χ. καὶ διῃρήσθω ἡ ΔΕΖΘ πυραμὶς εἴς τε δύο πυραμίδας ἴσας ἀλλήλαις καὶ ὁμοίας τῇ ὅλῃ καὶ εἰς δύο πρίσματα ἴσα· τὰ δὴ δύο πρίσματα μείζονά ἐστιν ἢ τὸ ἥμισυ τῆς ὅλης πυραμίδος. καὶ πάλιν αἱ ἐκ τῆς διαιρέσεως γινόμεναι πυραμίδες ὁμοίως διῃρήσθωσαν. καὶ τοῦτο ἀεὶ γινέσθω. ἕως οὗ λειφθῶσί τινες πυραμίδες ἀπὸ τῆς ΔΕΖΘ πυραμίδος. αἵ εἰσιν ἐλάσσονες τῆς ὑπεροχῆς ᾗ ὑπερέχει ἡ ΔΕΖΘ πυραμὶς τοῦ Χ στερεοῦ· λελείφθωσαν καὶ ἔστωσαν λόγου ἕνεκεν αἱ ΔΠΡΣ ΣΤΥΘ· λοιπὰ ἄρα τὰ ἐν τῇ ΔΕΖΘ πυραμίδι πρίσματα μείζονά ἐστι τοῦ Χ στερεοῦ· διῃρήσθω καὶ ἡ ΑΒΓΗ πυραμὶς ὁμοίως καὶ ἰσοπληθῶς τῇ ΔΕΖΘ πυραμίδι· ἔστιν ἄρα ὡς ἡ ΑΒΓ βάσις πρὸς τὴν ΔΕΖ βάσιν. οὕτως τὰ ἐν τῇ ΑΒΓΗ πυραμίδι πρίσματα πρὸς τὰ ἐν τῇ ΔΕΖΘ πυραμίδι πρίσματα· ἀλλὰ καὶ ὡς ἡ ΑΒΓ καὶ

βάσιν. οὕτως ἡ ΑΒΓΗ πυραμὶς πρὸς τὴν ΔΕΖΘ πυραμίδα

διὰ τὸ γ΄ τοῦ ιβ΄

διὰ τὸ δ΄ τοῦ ιβ΄

ἀπὸ τῆς ΔΕΖΘ πυραμίδος

διὰ τὸ ε΄ τοῦ ιγ΄ [?]

BIBLIOTHECA BODLEIANA